D κοὶ τῷ ἀέρι τὸ πρώτως ψυχρὸν ἀποδιδόντες, Ἐμπεδοκλῆς δὲ καὶ Στράτων τῷ ὕδατι· τὴν δὲ γῆν ἴσως ἂν ἕτερος φανείη ψυχρότητος αἰτίαν ὑποτιθέμενος. πρότερον δὲ τὰ ἐκείνων σκοπῶμεν. ἐπεὶ τὸ πῦρ θερμὸν ἅμα καὶ λαμπρόν ἐστι, δεῖ τὴν ἀντικειμένην τῷ πυρὶ φύσιν ψυχράν τ' εἶναι καὶ σκοτεινήν· ἀντίκειται γὰρ ὡς τῷ λαμπρῷ τὸ ζοφερὸν οὕτω τῷ θερμῷ τὸ ψυχρόν· ἔστι γὰρ ὡς ὄψεως τὸ σκοτεινὸν οὕτω τὸ ψυχρὸν ἁφῆς συγχυτικόν, ἡ δὲ θερμότης διαχεῖ τὴν αἴσθησιν τοῦ ἁπτομένου καθάπερ
E ἡ λαμπρότης τοῦ ὁρῶντος. τὸ ἄρα πρώτως σκοτεινὸν ἐν τῇ φύσει πρώτως καὶ ψυχρόν ἐστιν. ὅτι δ' ἀὴρ τὸ πρώτως σκοτεινόν ἐστιν, οὐδὲ τοὺς ποιητὰς λέληθεν· ἀέρα γὰρ τὸ σκότος καλοῦσιν· (Hom. ι 144)

ʽἀὴρ γὰρ παρὰ νηυσὶ βαθεῖ' ἦν οὐδὲ σελήνη
οὐρανόθεν προύφαινε·'

καὶ πάλιν (Hes. O. D. 255)

ʽἠέρα ἑσσάμενοι πᾶσαν φοιτῶσιν ἐπ' αἶαν'

καὶ πάλιν (P 649)

ʽαὐτίκα δ' ἠέρα μὲν σκέδασεν καὶ ἀπῶσεν ὀμίχλην,
ἠέλιος δ' ἐπέλαμψε· μάχη δ' ἐπὶ πᾶσα φαάνθη.'

καὶ γὰρ ʽκνέφας' τὸν ἀφώτιστον ἀέρα καλοῦσι, κενὸν ὡς ἔοικε φάους ὄντα· καὶ ʽνέφος' ὁ συμπεσὼν καὶ πυκνω-